**Exegetisk genomgång av evangeliet för Den helige Johannes döparens dag, årg. 3**

**Lukas 1:67-80**

Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου καὶ ἐπροφήτευσεν λέγων· [68] Εὐλογητὸς κύριος ὁ
θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ, [69] καὶ ἤγειρεν κέρας σωτηρίας
ἡμῖν ἐν οἴκῳ Δαυὶδ παιδὸς αὐτοῦ, [70] καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων ἀπ᾽ αἰῶνος προφητῶν
αὐτοῦ, [71] σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς, [72] ποιῆσαι ἔλεος μετὰ τῶν
πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, [73] ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν,
τοῦ δοῦναι ἡμῖν [74] ἀφόβως ἐκ χειρὸς ἐχθρῶν ῥυσθέντας λατρεύειν αὐτῷ [75] ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
ἐνώπιον αὐτοῦ πάσαις ταῖς ἡμέραις ἡμῶν. [76] Καὶ σὺ δέ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ
γὰρ ἐνώπιον κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, [77] τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει
ἁμαρτιῶν αὐτῶν, [78] διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς ἐπισκέψεται ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, [79]
ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. [80]
Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ
πρὸς τὸν Ἰσραήλ.

**Struktur:**

1. **Inledning** (1:67)
2. **Lovprisning till Israels Gud** (1:68-75)
    a) Återlösning för Israel genom Davids hus (1:68-69)
    b) I enlighet med profeterna (1:70)
    c) Barmhärtighet och ett ihågkommit förbund (1:72)
    d) I enlighet med löften till Abraham (1:73)
    e) Mål: att tjäna Gud i helighet (1:74-75)
3. **Profetia om Johannes och Jesus** (1:76-79)
    a) Johannes: den högstes profet som ska bereda väg för Herren (1:76)
    b) Johannes: ska ge kunskap om syndernas förlåtelse (1:77)
    c) Jesus: en soluppgång genom Guds barmhärtighet (1:78)
    d) Jesus: ska bringa ljus och vägleda in på fridens väg (1:79)
4. **Avslutning: Johannes uppväxt**